# ΟΡΕΣΤΗΣ

# ΟΡΕΣΤΗΣ

## Πρόλογος 1—139 Iambi trimetri

## ΠΑΡΟΔΟΣ

### ΣΤΡΟΦΗ Α

Trini iambi

Χο. σῖ-γα σῖ-γα, λεπτὸν ἴχνος ἀρ-βύλης
τιθεῖ-τε, μὴ ψο-φεῖτε, μηδ' ἔστω κτύπος.
Ηλ. ἀποπρὸ βᾶτ' ἐ-κεῖσ', ἀποπρό μοι κοί-τας.
Χο. ἰ-δού, πεί-θο-μαι.
Ηλ. ἆ ἆ σύ-ριγγος ὅ-πως πνο-ὰ
λεπτοῦ δόνακος, ὦ φίλα, φώ-νει μοι.
Χο. ἴδ', ἀτρε-μαῖ-ον ὡς ὑπόρο-φον φέρω
βοάν. | Ηλ. ναί, οὔ-τως.
κάταγε κάταγε πρόσιθ' ἀτρέμας, ἀτρέμας ἴθι· λόγον
ἀπόδος, ἐφ' ὅτι χρέ-ος ἐμόλετέ πο-τε.
χρόνια γὰρ πε-σὼν ὅδ' εὐ-νά-ζε-ται.

141 codd. κτυπεῖτε, corr. Elmsley

### ΑΝΤΙΣΤΡΟΦΗ Α

Liberiore responsione

Χο. πῶς ἔχει; λό-γου μετάδος, ὦ φί-λα·
τί-να τύ-χαν εἴ-πω; τίνα δὲ συμ-φοράν;
Ηλ. ἔτι μὲν ἐμ-πνέ-ει, βραχὺ δ' ἀ-να-στένει.
Χο. τί φῄς; ὦ τά-λας·
Ηλ. ὀλεῖς, εἰ βλέφαρα κι-νή-σεις
ὕπνου γλυκυτά-ταν φερομέ-νῳ χάριν.
Χο. ὦ μέλεος ἐχ-θίστων θεόθεν ἐργ-μάτων,
ὦ τάλας· | Ηλ. φεῦ μόχ-θων.
ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν ἔ-λα-κεν, ἀπόφονον
ὅτ' ἐπὶ τρίποδι Θέ-μιδος ἄρ' ἐδί-κα-σε
φόνον ὁ Λο-ξί-ας ἐμᾶς μα-τέ-ρος.

## ΣΤΡΟΦΗ Β

Trini iambi et quattuor anapaesti

Χο. ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας.
Ηλ. σὺ γάρ νιν, ὦ τάλαινα,
θωΰξασ' ἔβαλες ἐξ ὕπνου.
Χο. εὕδειν μὲν οὖν ἔδοξα.
Ηλ. οὐκ ἀφ' ἡμῶν, οὐκ ἀπ' οἴκων πάλιν
ἀνὰ πόδα σὸν εἱλίξεις μεθεμένα κτύπου;
Χο. ὑπνώσσει. | Ηλ. λέγεις εὖ.

ΜΕΣΩΙΔΟΣ

Ηλ. πότνια πότνια
νὺξ, ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
ἐρεβόθεν ἴθι, μόλε μόλε κατάπτερος
τὸν Ἀγαμεμνόνειον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεσθ', οἰχόμεσθα. κτύπον
ἠγάγετ'· οὐχὶ σῖγα,
σῖγα φυλασσομένα στόματος
ἀνακέλαδον ἀπὸ λέχεος, ἥσυχον
ὕπνου χαρὰν παρέξεις, ὦ φίλα;

## ΑΝΤΙΣΤΡΟΦΗ Β

Liberiore responsione

Χο. θρόει, τίς κακῶν τελευτὰ μένει;
Ηλ. θανεῖν, τί δ' ἄλλο;
οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.
Χο. πρόδηλος ἄρ' ὁ πότμος.
Ηλ. ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς μέλεον
ἀπόφονον αἷμα δοὺς πατροφόνου ματέρος.
Χο. δίκαια μέν. | Ηλ. καλῶς δ' οὔ.

ΕΠΩΙΔΟΣ

Ηλ. ἔκανες ἔθανες,
ὦ τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤλεσας
πατέρα τέκνα τε τάδε σέθεν ἀφ' αἵματος·
ὀλόμεθ' ἰσονέκυες, ὀλόμεθα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ' ἐμὸν
οἴχεται βίου τὸ πλέον μέρος
ἐν στοναχαῖσί τε καὶ γόοις
δάκρυσί τ' ἐννυχίοις, ἄγαμος,
ἐπὶ δ' ἄτεκνος ἅτε βίοτον ἃ μέλεος
ἐς τὸν αἰὲν ἕλκω χρόνον.

## ΣΤΡΟΦΗ Β

Trini iambi et quattuor anapaesti

Χο. ὁρᾷϲ; ἐν πέ-πλοιϲι κι—νεῖ δέμαϲ.

Ηλ. ϲὺ γάρ νιν, ὦ τά—λαι—να,

θω-ύ—ξαϲ' ἔ-βαλεϲ ἐξ ὕπνου.

Χο. εὕδειν μὲν οὖν ἔ—δο—ξα.

Ηλ. οὐκ ἀφ' ἡ—μῶν, οὐκ ἀπ' οἴ—κων πάλιν

ἀνὰ πόδα ϲὸν εἱ—λί-ξειϲ μεθεμέ—να κτύπου;

Χο. ὑπνώϲ-ϲει. | Ηλ. λέ-γειϲ εὖ.

Ηλ. ΜΕΣΩΙΔΟΣ πότ-νια πότ-νια

νύξ, ὑπνοδότει—ρα τῶν πολυπό—νων βροτῶν,

ἐρεβόθεν ἴθι, μόλε μόλε κατά-πτε—ροϲ

τὸν Ἀγαμεμ—νό-νει-ον ἐπὶ δό-μον.

ὑπὸ γὰρ ἀλ—γέ—ων ὑπό τε ϲυμ—φορᾶϲ

δι-οιχόμεϲθ', οἰ—χόμε—ϲθα. κτύπον

ἠγάγετ'· οὐ—χὶ ϲῖ—γα,

ϲῖγα φυλαϲϲομένα ϲτόματοϲ

ἀνακέλαδον ἀπὸ λέχε-οϲ, ἥ—ϲυ—χον

ὕπνου χαρὰν παρ-έ—ξειϲ, ὦ φίλα;

## ΑΝΤΙΣΤΡΟΦΗ Β

Liberiore responsione

Χο. θρό-ει, τίϲ κα-κῶν τελευ—τὰ μέ-νει;

Ηλ. θα-νεῖν, τί δ' ἄλ—λο;

οὐ—δὲ γὰρ πόθον ἔ—χει βο-ρᾶϲ.

Χο. πρόδηλοϲ ἆρ' ὁ πότ—μοϲ.

Ηλ. ἐξ—έ-θυϲ' ὁ Φοῖβοϲ ἡ—μᾶϲ μέλεον

ἀπόφονον αἷ-μα δοὺϲ πατροφόνου ματέροϲ.

Χο. δί-και-α μέν· | Ηλ. καλῶϲ δ' οὔ.

Ηλ. ΕΠΩΙΔΟΣ ἔκανεϲ ἔθανεϲ,

ὦ τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤ-λεϲαϲ

πατέρα τέκνα τε τά-δε ϲέθεν ἀφ' αἵ—μα—τοϲ·

ὀλόμεθ' ἰ—ϲο-νέκυ-εϲ, ὀλό-με—θα.

ϲύ τε γὰρ ἐν νε—κροῖϲ, τό τ' ἐμὸν

οἴ—χε-ται βί—ου τὸ πλέ—ον μέροϲ

ἐν ϲτονα-χαῖϲ τε καὶ γό-οιϲ

δάκρυϲί τ' ἐννυχίοιϲ, ἄγαμοϲ,

ἔπι δ' ἄτεκνοϲ ἅ-τε βίοτον ἃ μέλε—οϲ

ἐϲ τὸν αἰ—ὲν ἕλ—κω χρό-νον.

ʼΕπειϲόδιον α 208-315 Iambi trimetri

# ΣΤΑΣΙΜΟΝ Α

## ΣΤΡΟΦΗ

Trini iambi

αἰ—αῖ, δρο-μάδεϲ, ὦ
πτεροφό-ροι ποτ-νιά—δεϲ θε—αί,
ἀβάκ-χευ—τον αἳ θίαϲον ἐ-λάχετ' ἐν
δάκρυϲι καὶ γό—οιϲ,
μελάγ-χρω—τεϲ εὐμενίδεϲ, αἵ—τε τὸν
ταν-αὸν αἰ—θέρ' ἀμ-πάλ—λεϲθ', αἵματοϲ
τι-νύμε—ναι δί—καν, τι-νύμε—ναι φόνον,
καθικε-τεύ—ο-μαι καθικε—τεύ—ομαι:
τὸν Ἀγα-μέμ—νο—νοϲ
γόνον ἐάϲατ' ἐκ—λα-θέ—ϲθαι λύϲ—ϲαϲ
μανιά-δοϲ φοιταλέ—ου· φεῦ μόχ—θων,
οἵων, ὦ τά-λαϲ, ὀ-ρεχ-θεὶϲ ἔρ—ρειϲ,
τρίποδοϲ ἄπο φάτιν, ἂν ὁ Φοῖ—βοϲ
ἔλακε δε—ξά-μενοϲ ἀνὰ δάπεδον, ἵ—να
μεϲόμφαλοι λέ-γον—ται μυ-χοὶ γᾶϲ.

## ΑΝΤΙΣΤΡΟΦΗ

Responsio libera

ἰ—ὼ Ζεῦ, τίϲ ἔλε—οϲ,
τίϲ ὅδ' ἀ-γὼν φό-νιοϲ ἔρ—χε—ται,
θο-ά—ζων ϲε τὸν μέλεον, ᾧ δάκρυ—α
δάκρυϲι ϲυμ—βάλλει,
πορεύ—ων τιϲ ἐϲ δόμουϲ ἀ-λαϲτόρων;
κατολο-φύ—ρο-μαι κατολο—φύ—ρομαι
ματέροϲ αἷ—μα ϲᾶϲ, ὅ ϲ' ἀναβακχεύ—ει.
ὁ μέγαϲ ὄλ—βοϲ οὐ μόνιμοϲ ἐν βροτοῖϲ.
ἀ-νὰ δὲ λαῖ—φοϲ ὥϲ τιϲ
ἀκάτου θοᾶϲ τι—νά—ξαϲ δαί—μων
κατέκλυ-ϲεν δει-νῶν πό-νων ὡϲ πόν—του
λάβροιϲ ὀ-λε—θρί—οι-ϲιν ἐν κύ—μαϲιν.
τίνα γὰρ ἔτι πά-ροϲ οἶ-κον ἕτε—ρον
ἢ τὸν ἀπὸ θε—ογό—νων γάμων, τὸν
ἀπὸ Ταντάλου, ϲέ—βε—ϲθαί με χρή;

338/339 cf. Pap. Wien. G 2315

## Ἐπεισόδιον β

348–355 Quaterni anapaesti recitati
350 sq.: δῆλος ὁρᾶσθαι τῶν Τανταλιδῶν etc.
356–728 Iambi trimetri
729–806 Trochaei tetrametri

# ΣΤΑΣΙΜΟΝ Β

## ΣΤΡΟΦΗ

Aeolici

ὁ μέγας ὄλ-βος ἅτ' ἀρε-τὰ
μέγα φρο-νοῦς' ἀν' Ἑλ-λάδα καὶ
παρὰ Σι-μουν-τί-οις ὀχε-τοῖς πάλιν
ἀν-ῆλθ' ἐξ εὐ-τυχί-ας Ἀτρείδαις·
πάλαι παλαι-ᾶς ἀπὸ συμφορᾶς
δόμων, ὁ-πότε χρυσέας ἔρις ἀρ-νὸς
ἤ-λυθε Τανταλί-δαις,
οἰκ-τρότατα θοινά-ματα καὶ σφάγια
γεν-ναί-ων τεκέ-ων·
ὅθεν φόνῳ φόνος ἐξ-αμείβων
δι' αἵματος οὐ προλείπει
δισ-σοῖ-σιν Ἀτρεί-δαις.

## ΑΝΤΙΣΤΡΟΦΗ

Liberiore responsione

τὸ καλὸν οὐ καλόν· τοκέ-ων
πυριγε-νεῖ τέμ-νειν παλάμᾳ
χρόα, με-λάν-δε-τον δὲ φό-νῳ ξίφος
ἐς αὐ-γὰς ἀ-ελί-οι-ο δεῖξαι·
τὸ δ' εὖ κακουρ-γεῖν ἀσέ-βει-α μεγάλα
κα-κο-φρόνων τ' ἀνδρῶν παράνοι-α.
θανά-του γὰρ ἀμφὶ φόβῳ
Τυν-δαρὶς ἰ-ά-χη-σε τάλαι-να· Τέκνον,
οὐ τολ-μᾷς ὅσι-α
κτεί-νων σὰν μα-τέρα· μὴ πατρῴ-αν
τιμῶν χάριν ἐξ-αν-ά-ψῃ
δύσ-κλει-αν ἐς αἰ-εί.

823 codd. αὖ, corr. Bothe; codd. μεγάλη/ῃ

## ΕΠΩΙΔΟΣ

τίϲ νόϲοϲ ἢ τίνα δάκρυα καὶ
τίϲ ἔ-λε-οϲ μείζων κατὰ γᾶν
ἢ μα-τρο-κτόνον αἷμα
χειρὶ θέϲθαι;
οἷ-ον ἔρ-γον τελέ-ϲαϲ
βε-βάκ-χευ-ται μανί-αιϲ,
Εὐ-με-νίϲι θή-ρα-μα, φόνον
δρομάϲι δι-νεύων βλεφάροιϲ,
Ἀγαμεμνόνι-οϲ παῖϲ.
ὦ μέλε-οϲ, μα-τρὸϲ ὅ-τε
χρυ-ϲεο-πη-νή-των φαρέων
μαϲτὸν ὑ-περ-τέλλοντ᾽ ἐϲι-δὼν
ϲφάγιον ἔθε-το
μα-τέρα, πατρώ-ων παθέ-ων
ἀ-μοι-βάν.

836 codd. φόνῳ, corr. Wilamowitz

## Ἐπειϲόδιον γ

844–959 Iambi trimetri

# ΜΟΝΩΙΔΙΑ pro tertio stasimo

## ΣΤΡΟΦΗ

Trini iambi cantati

κατάρχομαι ϲτε-ναγμόν, ὦ Πε—λαϲγί-α,
τιθεῖ-ϲα λευ-κὸν ὄνυχα διὰ παρ-η—ί-δων
αἱ—ματη—ρὸν ἄ—ταν,
κτύ-πον τε κρα-τόϲ, ὃν ἔλαχ' ἁ κα—τὰ χθονὸϲ
νερ—τέρων Περ—ϲέφαϲ—ϲα καλλίπαιϲ
θεά· ἰ-αχεί—τω δὲ γᾶ Κυκ-λωπί—α,
ϲίδα-ρον ἐπὶ κά-ρα τι-θεῖ-ϲα κούριμον,
τῶν Ἀτρει-δᾶν πήματ' οἴ—κων.
ἔ-λεοϲ ἔλεοϲ ὅδ' ἔρχεται
τῶν θανου-μέ—νων ὕπερ, ϲτρα-τη-λατᾶν
Ἑλ—λάδοϲ ποτ' ὄν—των.

## ΑΝΤΙΣΤΡΟΦΗ

Responsio libera

βέβακε γὰρ βέ—βακεν, οἴ—χε—ται τέκνων
πρόπα-ϲα γέν-να Πέλοποϲ ὅ τ' ἐ-πὶ μακαρίοιϲ
ζηλω-τὸϲ ὢν ποτ' οἴ—κο[ι]ϲ·
φθόνοϲ νιν εἷ—λε θεόθεν, ἅ τε δυϲμενὴϲ
φονία ψῆ—φοϲ ἐν πο-λί—ταιϲ. ἰ—ὼ
ἰ—ώ, παν—δά—κρυτ' ἐφ—α-μέρων
ἔθνη πολύπονα, λεύϲϲεθ', ὡϲ παρ' ἐλπίδαϲ
μοῖ—ρα βαί—νει.
ἕτερα δ' ἑτέροιϲ ἀ—μείβεται
πή—ματ' ἐν χρό—νῳ μακρῷ· βροτῶν δ' ὁ πᾶϲ
ἀ—ϲτάθμη—τοϲ αἰ—ών.

ΕΠΩΙΔΟΣ

Bini iambi et quaterni anapaesti cantati

μό-λοιμι τὰν οὐ—ρανοῦ
982 μέ-σον χθονός ⟨τε⟩ τεταμέναν
αἰ—ω—ρή—μασι πέ—τραν,
ἁ-λύσεσι χρυ-σέ—αι—σι
983 φερομέ—ναν δί—ναι—σι,
βῶ-λον ἐξ Ὀ-λύμ-που,
ἵν' ἐν θρή—νοι—σιν
ἀναβο-ά—σω
γέρον-τι πα-τρὶ Ταντάλῳ.
985 ὃς ἔτεκεν ἔτε-κε γενέτορας
ἐμέθεν δόμων,
οἳ κατεῖ—δον ἄ—τας,
τὸ πτα—νὸν μὲν
δί-ωγμα πώ—λων,
τεθριπποβά—μο-νι στόλῳ
989 Πέλοψ ὅτε πε-λάγεσι
990 διεδί—φρευ-σε, Μυρτίλου
φόνον δικὼν ἐς οἶδ—μα
πόν-του, λευ—κο—κύ-μασιν
πρὸς Γεραισ-τί—αις
πον—τί—ων σά—λων
ἠ—ιό-σιν ἁρ-μα-τεύ—σας.
ὅ-θεν δόμοι-σι τοῖσ ἐμοῖσ
995 ἦλθ' ἀρὰ πο—λύστονος,
λόχευμα ποιμνί—οι—σι
Μαι—ά-δος τό—κου,
τὸ χρυσόμαλ-λον ἀρ—νὸς
ὁπότ' ἐγένετο τέρας ὀλοὸν Ἀτρέως
1000 ἱπποβότα· ὅθεν Ἔ—ριστό τε
πτε-ρω-τὸν ἁ—ελί-ου
1002 μετέβαλεν ἅρ-μα, τὰν

1002 πρὸς ἑσπέραν κέ—λευ—θον
οὐ—ρανοῦ προσαρμόσας
μονόπωλον ἐς Ἀῶ ⏑ —
ἑπταπόρου τε δράμημα Πλειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει.
τῶν δέ τ' ἀμείβει θανάτους θανάτων
τά τ' ἐπώνυμα δεῖπνα Θυέστου
λέκτρα τε Κρῆσσας Ἀερόπας
δολίας δολίοισι γάμοις ⏑ —
τὰ πανύστατα δ' εἰς ἐμὲ καὶ γενέταν
ἐμὸν ἦ-λυθε δό—μων ⏑ —
1012 πολυπό—νοις ἀ—νάγ—καις.

982 add. Hermann

1013—1017 Quaterni anapaesti recitati

1018—1245 Iambi trimetri

# ΑΜΟΙΒΑΙΟΝ

pro quarto stasimo

## ΣΤΡΟΦΗ

Trini iambi et iambi trimetri recitati

Ἠλ. Μυ-κη-νίδες
ὦ φίλαι, τὰ πρῶτα κατὰ Πε-λασ-γὸν
ἕδος Ἀρ-γεί-ων. Χο. τίνα θροεῖς αὐ-δάν,
πότνια; παραμέ-νει γὰρ ἔτι σοι
τόδ' ἐν Δαναϊ-δῶν πόλει.
Ἠλ. στῆθ' αἱ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
αἱ δ' ἐνθάδ' ἄλλον οἶμον ἐς φρουρὰν δόμων.
Χο. τί δέ με τόδε
χρέος ἀπύ-εις; ἔν-νεπέ μοι, φί-λα. Ἠλ. φόβος
ἔχει με, μή τις ἐπὶ δώ-μα-σι
σταθεὶς ἐπὶ φόνιον αἷμα πήμα-τα
πήμασιν ἐξ-εύ-ρῃ.
Ἡμ. χωρεῖτ', ἐπειγώμεσθ'· ἐγὼ μὲν οὖν τρίβον
τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.

1260 sq. vide paginam sequentem

## ΑΝΤΙΣΤΡΟΦΗ

Responsio libera

Ἠλ. ἑ-λίσσε-τε
νῦν βλέφαρον, κό-ραισι δίδο-τε πάν-τα
διὰ βοστρύχων. Ἡμ. ὅ-δε τις ἐν τρί-βῳ
προσ-έρχε-ται; τίς ὅδ' ἄρ' ἀμφὶ μέλαθρον
πο-λεῖ σὸν ἀγρό-τας ἀ-νήρ;
Ἠλ. ἀπωλόμεσθ' ἄρ', ὦ φίλαι· κεκρυμμένους
θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖσιν φανεῖ.
Ἡμ. ἄ-φοβος ἔχε·
κενός, ὦ φί-λα, στίβος ὃν οὐ δο-κεῖς. Ἠλ. τί δέ;
τὸ σὸν βέβαι-ον ἔτι μοι μέ-νει; δὸς
ἀγγελί-αν ἀγαθάν τινά μοι, εἰ
τάδ' ἔρημα τὰ πρόσθ' αὐ-λᾶς.
Ἡμ. καλῶς τά γ' ἐνθένδ'· ἀλλὰ τἀπὶ σοῦ σκόπει·
ὡς οὔτις ἡμῖν Δαναϊδῶν πελάζεται.

1280 sq. vide paginam sequentem

Ημ. καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.

Ηλ. δόχμιά νυν κόρας διάφερ' ὀμμάτων.

Χο. ἐκεῖθεν ἔνθαδ', εἶτα πάλιν

σκοπιὰν ἔχομεν, ὡς θροεῖς.

1266 sq. vide paginam antecedentem

Ημ. ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ' ὄχλος.

Ηλ. φέρε νυν ἐν πύλαισιν ἀκοὰν βάλω.

Χο. τί μέλλεθ' οἱ κατ' οἶκον ἐν

ἡσυχίᾳ σφάγια φοινίσσειν;

## ΕΠΩΙΔΟΣ

Bini iambi et quaterni anapaesti cantati
iambi trimetri recitati

Ηλ. οὐκ εἰσακούουσ'· ὦ τάλαιν' ἐγὼ κακῶν·
ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφηται ξίφη;
τάχα τις Ἀργείων
ἐν ὅπλοις ὁρμήσας
ποδὶ βοηδρόμῳ
μέλαθρα προσμείξει.
σκέψασθέ νυν ἄμεινον· οὐχ ἕδρας ἀγών·
ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε.
ἀμείβω κέλευθον
σκοποῦσα πάντα.

Ηλ. ἰὼ Πελαϲγὸν Ἄργοϲ, ὄλλυμαι κακῶϲ.
1296 Ημ. ἠκούϲαθ'; ἄνδρεϲ χεῖρ' ἔχουϲιν ἐν φόνῳ.
Ημ. Ἑλένηϲ τὸ κώκυμ' ἐϲτίν, ὡϲ ἀπεικάϲαι.
Ηλ. ὦ Διόϲ, ὦ Διὸϲ ἀέναον κράτοϲ,
ἔλθ' ἐπίκουροϲ ἐμοῖϲι φίλοιϲι
πάντωϲ.
Ελ. Μενέλαε, θνῄϲκω· ϲὺ δὲ παρὼν μ' οὐκ ὠφελεῖϲ.
Ηλ. × — ⏑ — φο–νεύ–ε–τε,
καί–νε–τε ... × — ⏑ —
× — ⏑ — ὄλ–λυ–τε,
δίπτυχα δίϲτομα φάϲγανα πέμπετε
ἐκ χερὸϲ ἱέμενοι τὰν
λιποπάτορα λιπόγαμον, ἃ
πλείϲτουϲ ἔ–κανεν Ἑλ–λά–νων,
δορὶ παρὰ ποταμὸν ὀλομένουϲ,
1308 ὅθι δάκρυα δάκρυ–ϲιν
ἔ–πεϲε ϲι–δα–ρέ–οι–ϲι
βέ–λεϲιν ἀμ–φὶ τὰϲ
Σκαμάνδρου δί–ναϲ.

1308/9 Locus incertus; sequor M, B

## Ἐπειϲόδιον ε

1311–1352 Iambi trimetri

# ΣΤΑΣΙΜΟΝ Ε

## ΣΤΡΟΦΗ

Trini iambi cantati et iambi trimetri recitati

ἰ—ὼ ἰ—ὼ φί-λαι,
κτύπον ἐ-γεί-ρε-τε, κτύπον καὶ βο-ὰν
πρὸ μελάθρων, ὅ-πως ὁ πραχ-θεὶς φόνος
μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἐτύ-μως ἴ-δω τὸν Ἑλέ-νας φόνον
καθαι-μακ-τὸν ἐν δόμοις κεί-μενον
ἢ καὶ λόγον του προσπόλων πυθώμεθα·
τὰ μὲν γὰρ οἶδα συμφορᾶς, τὰ δ' οὐ σαφῶς.
δι-ὰ δί-κας ἔ-βα
θε-ῶν νέμεσις ἐς Ἑλέ-ναν. δακρύοισι γὰρ
Ἑλλάδ' ἅ-πα-σαν ἔ-πλη-σε, δι-ὰ
τὸν ὀλόμενον ὀλό-μενον Ἰ-δαῖ-ον
Πάριν, ὃς ἄ-γαγ' Ἑλλάδ' εἰς Ἴ-λι-ον.

1366 sq. vide paginam sequentem

## ΑΝΤΙΣΤΡΟΦΗ

Liberiore responsione

ἰ—ὼ ἰ—ὼ τύ—χα,
ἕ-τερον εἰς ἀ-γῶν', ἕτερον, αὖ δόμος
φοβερὸν ἀμ-φὶ τοὺς Ἀτρεί-δας πίτνει.
Ημ. τί δρῶμεν; ἀγγέλλωμεν ἐς πόλιν τάδε;
ἢ σῖγ' ἔχωμεν; ἀσφαλέστερον, φίλαι.
ἴδε πρὸ δω-μά-των, ἴδε προκη-ρύσ-σει
θο-ά-ζων ὅδ' αἰ-θέρος ἄ-νω καπνός.
ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
τοὺς Ταντάλειους, οὐδ' ἀφίστανται φόνου.
τέ-λος ἔ-χει δαί-μων
βροτοῖς, τέλος ὅ-πᾳ θέ-λῃ. μεγάλα δέ τις
ἁ δύνα-μις δι' ἀλαστόρων ἔπε-σεν
ἔπεσε μέλαθρα τάδε δι' αἱ-μά-των
δι-ὰ τὸ Μυρ-τί-λου πέσημ' ἐκ δίφρου.

1547 sq. locus incertus

# Ἔξοδος

1366–1368 Iambi trimetri

## ΩΙΔΗ

Trini iambi et quaterni anapaesti cantati;

Iambi trimetri recitati

Φρ. Ἀργεῖον ξίφος
1369 ἐκ θανάτου πέφευγα βαρβάροισιν 1370
ἐν εὐμάρισιν, κεδρωτὰ παστάδων
ὑπὲρ τέραμνα Δωρικάς τε τριγλύφους,
φροῦδα φροῦδα, γᾶ γᾶ,
βαρβάροισι δρασμοῖς.
αἰαῖ· πᾷ φύγω, ξέναι, πολιὸν
1375 αἰθέρ' ἀμπτάμενος ἢ πόντον,
Ὠκεανὸς ὃν ταυρόκρανος ἀγκάλαις
ἑλίσσων κυκλοῖ χθόνα;
Χο. τί δ' ἔστ⟨ιν⟩, Ἑλένης πρόσπολ', Ἰδαῖον κάρα;
1380 Φρ. Ἴλιον Ἴλιον, ὤμοι μοι, Φρύγιον
ἄστυ καὶ καλλίβωλον Ἴδας
ὄρος ἱερόν, ὥς σ' ὀλόμενον στένω,
ἁρματεῖον ἁρματεῖον μέλος,
1384 βαρβάρῳ βοᾷ διὰ τὸ τᾶς
1385 ὀρνιθόγονον ὄμμα κυκνοπτέρου
1386 καλλοσύνας, Λήδας σκύμνου, Δυσελένας
Δυσελένας, ξεστῶν περγάμων
Ἀπολλωνίων ἐρινύν·
ὀττοτοῖ· ἰαλέμων ἰαλέμων
1390 Δαρδανία τλᾶμον Γανυμήδεος
ἱπποσύνα, Διὸς εὐνέτα.
Χο. σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις.
τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἔχω.
Φρ. 1395 αἴλινον αἴλινον ἀρχὰν θανάτου
βάρβαροι λέγουσιν, αἰαῖ,
Ἀσιάδι φωνᾷ, βασιλέων

1380 edd. 1384/1394 secl. Murray cf. Σ 1395/6 codd. κυκνόπτερον ... σκύμνον, corr. Barnes, recc.

ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν
σι-δα-ρέ-οι-σιν Ἅι-δα.
ἦλ-θον ἐς δό-μους,
ἵν' αὔθ' ἕ-καστά σοι λέγω, λέ-ον-τες
Ἕλ-λα-νες δύ-ο διδύμω· τῷ μὲν
ὁ στρα-τη-λά-τας πατὴρ ἐ-κλῄ-ζετο,
ὁ δὲ παῖς Στροφίου,
κακομή-τας ἀ-νήρ, οἷ-ος Ὀδυσ-σεύς,
σιγᾷ δόλιος, πιστὸς δὲ φίλοις,
θρασὺς εἰς ἀλκάν, ξυνετὸς πολέμου,
φόνιός τε δράκων.
ἔρ-ροι τᾶς ἡ-σύχου προ-νοί-ας
κακοῦργος ὤν. οἱ δὲ πρὸς θρόνους ἔσω
μολόντες ἇς ἔ-γημ' ὁ το-ξό-τας Πάρις
γυναικός, ὄμμα δακρύοις πεφυρμένοι,
τα-πεινοὶ ἕ-ζονθ', ὁ μὲν τὸ κεῖθεν, ὁ δὲ
τὸ κεῖθεν, ἄλλος ἄλλοθεν πεφραγμένοι.
περὶ δὲ γόνυ χέρας ἱκε-σί-ους ἔβαλον ἔβαλον
Ἑλένας ἄμ-φω. ἀνὰ δὲ δρομάδες ἔθορον
ἔ-θορον ἀμφίπο-λοι Φρύγες·
προσεῖ-πε δ' ἄλλος ἄλ-λον πε-σὼν
ἐν φόβῳ, μή τις εἴ-η δόλος.
κἀ-δόκει τοῖς μὲν οὔ,
τοῖς δ' ἐς ἀρ-κυ-στάταν μη-χανὰν
ἐμ-πλέκειν παῖ-δα τὰν Τυν-δαρίδ' ὁ
μη-τροφόν-τας δράκων.
Χο. σὺ δ' ἦσθα ποῦ τότ'; ἢ πάλαι φεύγεις φόβῳ;
Φρ. Φρυγίοις ἔτυχον, Φρυγίοισι νόμοις
παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπαγεῖ
κύκλῳ πτερίνῳ πρὸ παρῇδος
ἀ-ίσ-σων βαρ-βάροισι νόμοι-σιν.

1429 codd. παρηίδος, poeta scripsit ΠΑΡΗΙΔΟΣ

ἃ δὲ λίνον ἠλακάτᾳ δακτύλοις
ἕλισσε, νήματα δ' ἵετο πέδῳ,
∪ — ∪ — σκύλων Φρυγίων
ἐπὶ τύμβον ἀγάλματα συστολίσαι
χρῄζουσα λίνῳ, φάρεα πορφύρεα,
δῶρα Κλυταιμνήστρᾳ.
προσεῖπεν δ' Ὀρέστας Λάκαιναν
κόραν· Ὦ Διὸς παῖ, θὲς ἴχνος
πέδῳ δεῦρ' ἀποστᾶσα κλισμοῦ,
Πέλοπος ἐπὶ προπάτορος ἕδραν παλαιᾶς
ἑστίας, ἵν' εἰδῇς λόγους ἐμούς.
ἄγει δ' ἄγει νιν· ἃ δ' ἐφείπετ', οὐ
πρόμαντις ὧν ἔμελλεν. ὁ δὲ σύνεργος
ἄλλ' ἔπρασσ' ἰὼν κακὸς Φωκεύς·
Οὐκ ἐκποδὼν ἴτ'; ἀλλ' ἀεὶ κακοὶ Φρύγες.

ἔκλῃσε δ' ἄλλον ἄλλος' ἐν στέγαις·
τοὺς μὲν ἐν σταθμοῖσιν ἱππικοῖσι,
τοὺς δ' ἐν ἐξέδραισι,
τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν, ἄλλον ἀλλόσε,
διαρμόσας ἀποπρὸ δεσποίνας.
Χο. τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;

Φρ. Ἰδαία μᾶτερ,
μᾶτερ ὀβρίμα ὀβρίμα, αἰαῖ
φονίων παθέων ἀνόμων τε κακῶν,
ἅπερ ἔδρακον ἔδρακον ἐν δόμοις τυράννων.
1457 ἀμφι⟨-⟩πορφυρέων πέπλων ὑπὸ σκότου
ξίφη σπάσαντες ἐν χεροῖν ἄλλος
ἄλλοσε δίνασεν ὄμμα,
μή τις παρὼν τύχοι·

1457 corr. Rademacher

ὡς κάπροι δ' ὀρέστεροι
γυναικὸς ἀντίοι σταθέντες
ἐννέπουσι· 'κατθανῇ, κατθανῇ,
κακός σ' ἀποκτενεῖ πόσις, κασιγνήτου
προδοὺς ἐν Ἄργει θανεῖν γόνον.'
ἃ δ' ἀνίαχεν ἴαχεν·
'Ὤμοι μοι.' λευκὸν ἐμβαλοῦσα
πῆχυν στέρνοις κτύπησε κρᾶτα
μέλεον πλαγᾷ· φυγᾷ δὲ ποδὶ
τὸ χρυσεοσάνδαλον ἴχνος ἔφερεν
ἔφερεν· ἐς κόμας δὲ δακτύλους δικὼν
Ὀρέστας, Μυκηνίδ' ἀρβύλαν προβάς,
ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
παίειν λαιμῶν ἔμελλεν εἴσω
μέλαν ξίφος.

Χο. ποῦ δ' ἦτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;
Φρ. ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,
βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης,
ὃ μὲν πέτρους, ὃ δ' ἀγκύλας, ὃ δὲ ξίφος
πρόκωπον ἐν χεροῖν ἔχων.
ἔναντα δ' ἦλθε Πυλάδης ἀλίαστος,
οἷος οἷος Ἕκτωρ ὁ Φρύγιος
ἢ τρικόρυθος Αἴας, ὃν εἶδον
εἶδον ἐν πύλαισι Πριαμίσι·
φασγάνων δ' ἀκμὰς συνήψαμεν.
τότε δὴ τότε διαπρεπεῖς ἐγένοντο Φρύγες,
ὅσον Ἄρεως ἀλκὰν ἥσονες Ἑλλάδος
ἐγενόμεθ' αἰχμᾶς.
ὃ μὲν οἰχόμενος φυγάς, ὃ δὲ νέκυς ὤν,

1473 codd. δῆτ', corr. Bothe

ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος,
θανάτου προβολάν.
ὑ–πὸ σκότον δ' ἐ–φεύγομεν.
νεκ–ροὶ δ' ἔ–πιπ–τον,
οἱ δ' ἔμελ–λον, οἱ δ' ἔκειντ'. ἔ–μολε δ' ἁ
τά–λαιν' Ἑρ–μιό–να δόμους ἐ–πὶ φό–νῳ
χαμαι–πε–τεῖ ματ–ρός, ἅ νιν ἔτε–κεν
τλάμων. ἄ–θυρσοι δ' οἷ–ά νιν δραμόν–τε
βάκχαι σκύμ–νον ἐν χεροῖν ὀ–ρεί–αν,
ξυν–ήρπασαν· πά–λιν δὲ τὰν Δι–ὸς κόραν
ἐ–πὶ σφαγὰν ἔ–τεινον· ἁ δ' ἐκ θαλά–μων
ἐγένε–το διαπρὸ δωμάτων ἄ–φαν–τος,
ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νύξ,
ἤ–τοι φαρ–μάκοισιν ἢ μάγων τέχναις
ἢ θεῶν κλοπαῖς. τὰ δ' ὕστερ' οὐκ–έτ' οἶ–δα·
δρα–πέτην γὰρ ἐξ–έκλεπτον ἐκ δόμων
πόδα. πολύπονα δὲ πολύπονα πάθε–α
Μενέλαος ἀνασχόμενος
ἀνόν–ητον ἀπὸ Τροίας ἔλαβε
τὸν Ἑλέ–νας γά–μον.

1503–1505 Iambi trimetri

1506–1536 Trochaei tetrametri

1537–1548 antistropha ad 1352 sq.

1549–1553 Trochaei tetrametri

1554–1681 Iambi trimetri

1682–1693 Quaterni anapaesti recitati
–pausa duorum pedum,
ante 1682, post 1685, 1693

ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος,
θανάτου προβολάν·
ὑ—πὸ σκότον δ' ἐ—φεύγομεν.
νεκ—ροὶ δ' ἔ—πιπ—τον,
οἱ δ' ἔμελ—λον, οἱ δ' ἔκειντ'· ἔ—μολε δ' ἁ
τά—λαιν' Ἑρ—μιό—να δόμους ἐ—πὶ φό—νῳ
χαμαι—πε—τεῖ ματ—ρός, ἅ νιν ἔτε—κεν
τλάμων. ἄ—θυρσοι δ' οἷ—ά νιν δραμόν—τε
βάκχαι σκύμ—νον ἐν χεροῖν ὀ—ρεί—αν,
ξυν—ήρπασαν· πά—λιν δὲ τὰν Δι—ὸς κόραν
ἐ—πὶ σφαγὰν ἔ—τεινον· ἁ δ' ἐκ θαλά—μων
ἐγένε—το διαπρὸ δωμάτων ἄ—φαν—τος,
ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νύξ,
ἤ—τοι φαρ—μάκοισιν ἢ μάγων τέχναις
ἢ θεῶν κλοπαῖς. τὰ δ' ὕστερ' οὐκ—έτ' οἶ—δα·
δρα—πέτην γὰρ ἐξ—έκλεπτον ἐκ δόμων
πόδα. πολύπονα δὲ πολύπονα πάθε—α
Μενέλαος ἀνασχόμενος
ἀνόνητον ἀπὸ Τροίας ἔλαβε
τὸν Ἑλέ—νας γά—μον.

1503—1505 Iambi trimetri

1506—1536 Trochaei tetrametri

1537—1548 antistropha ad 1352 sq.

1549—1553 Trochaei tetrametri

1554—1681 Iambi trimetri

1682—1693 Quaterni anapaesti recitati
—pausa duorum pedum,
ante 1682, post 1685, 1693